Il.16.419 Σαρπηδὼν δ´ ὡς οὖν ἴδ´ ἀμιτροχίτωνας ἑταίρους

Il.16.420 χέρσ´ ὕπο Πατρόκλοιο Μενοιτιάδα̱ο δαμέντας,

Il.16.421 κέκλετ´ ἄρ´ ἀντιθέοισι καθαπτόμενος Λυκίοισιν·

Il.16.422 αἰδὼς ὦ Λύκιοι· πόσε φεύγετε; νῦν θοοὶ ἔστε.

Il.16.423 ἀντήσω γὰρ ἐγὼ τοῦδ´ ἀ̱νέρος, ὄφρα δαείω

Il.16.424 ὅς τις ὅδε κρατέει καὶ δὴ κακὰ πολλὰ ἔοργε

Il.16.425 Τρῶας, ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ´ ἔλυ̱σεν.

Il.16.426 Ἦ ῥα, καὶ ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε.

Il.16.427 Πάτροκλος δ´ ἑτέρωθεν ἐπεὶ ἴδεν ἔκθορε δίφρου.

Il.16.428 οἳ δ´ ὥς τ´ αἰγυπιοὶ γαμψώνυχες ἀγκυλοχεῖλαι

Il.16.429 πέτρῃ ἐφ´ ὑψηλῇ μεγάλα κλάζοντε μάχωνται,

Il.16.430 ὣς οἳ κεκλήγοντες ἐπ´ ἀλλήλοισιν ὄρουσαν.

Il.16.431 τοὺς δὲ ἰδὼν ἐλέησε Κρόνου πάϊς ἀγκυλομήτε̱ω̱,

Il.16.432 Ἥρην δὲ προσέειπε κασιγνήτην ἄλοχόν τε·

Il.16.433 ὤ μοι ἐγών, ὅ τέ μοι Σαρπηδόνα φίλτατον ἀνδρῶν

Il.16.434 μοῖρ´ ὑπὸ Πατρόκλοιο Μενοιτιάδα̱ο δαμῆναι.

Il.16.435 διχθὰ δέ μοι κραδίη μέμονε φρεσὶν ὁρμαίνοντι,

Il.16.436 ἤ μιν ζωὸν ἐόντα μάχης ἄπο δακρυοέσσης

Il.16.437 θείω ἀναρπάξα̱ς Λυκίης ἐν πι̱ίονι δήμῳ,

Il.16.438 ἦ ἤδη ὑπὸ χερσὶ Μενοιτιάδα̱ο δαμάσσω.

Il.16.439 Τὸν δ´ ἠμείβετ´ ἔπειτα βοῶπις πότνια Ἥρη·

Il.16.440 αἰνότατε Κρονίδη ποῖον τὸν μῦθον ἔειπες.

Il.16.441 ἄνδρα θνητὸν ἐόντα πάλαι πεπρωμένον αἴσῃ

Il.16.442 ἂψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι;

Il.16.443 ἔρδ´· ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.

Il.16.444 ἄλλο δέ τοι ἐρέω, σὺ δ´ ἐνὶ φρεσὶ βάλλεο σῇσιν·

Il.16.445 αἴ κε ζὼν πέμψῃς Σαρπηδόνα ὃν δὲ δόμον δέ,

Il.16.446 φράζεο μή τις ἔπειτα θεῶν ἐθέλῃσι καὶ ἄλλος
Il.16.447 πέμπειν ὃν φίλον υἱὸν ἀπὸ κρατερῆς ὑσμί̱νης·
Il.16.448 πολλοὶ γὰρ περὶ ἄστυ μέγα Πριάμοιο μάχονται
Il.16.449 υἱέες ἀ̱θανάτων, τοῖσιν κότον αἰνὸν ἐνήσεις.
Il.16.450 ἀλλ᾽ εἴ τοι φίλος ἐστί, τεὸν δ᾽ ὀλοφύ̱ρεται ἦτορ,
Il.16.451 ἤτοι μέν μιν ἔα̱σον ἐνὶ κρατερῇ ὑσμί̱νῃ
Il.16.452 χέρσ᾽ ὕπο Πατρόκλοιο Μενοιτιάδα̱ο δαμῆναι·
Il.16.453 αὐτὰρ ἐπὴν δὴ τόν γε λίπῃ ψυ̱χή τε καὶ αἰών,
Il.16.454 πέμπειν μιν θάνατόν τε φέρειν καὶ νήδυμον ὕπνον
Il.16.455 εἰς ὅ κε δὴ Λυκίης εὐρείης δῆμον ἵκωνται,
Il.16.456 ἔνθά ἑ ταρχύ̱σουσι κασίγνητοί τε ἔται τε
Il.16.457 τύμβῳ τε στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων.
Il.16.458 Ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Il.16.459 αἱματοέσσα̱ς δὲ ψιάδας κατέχευεν ἔραζε
Il.16.460 παῖδα φίλον τι̱μῶν, τό̱ν οἱ Πάτροκλος ἔμελλε
Il.16.461 φθί̱σειν ἐν Τροίῃ ἐριβώλακι τηλόθι πάτρης.
Il.16.462 Οἳ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες,
Il.16.463 ἔνθ᾽ ἤτοι Πάτροκλος ἀγακλειτὸν Θρασύμηλον,
Il.16.464 ὅς ῥ᾽ ἠῢς θεράπων Σαρπηδόνος ἦεν ἄνακτος,
Il.16.465 τὸν βάλε νείαιραν κατὰ γαστέρα, λῦσε δὲ γυῖα.
Il.16.466 Σαρπηδὼν δ᾽ αὐτοῦ μὲν ἀπήμβροτε δουρὶ φαεινῷ
Il.16.467 δεύτερον ὁρμηθείς, ὃ δὲ Πήδασον οὔτασεν ἵππον
Il.16.468 ἔγχεϊ δεξιὸν ὦμον· ὃ δ᾽ ἔβραχε θυ̱μὸν ἀΐσθων,
Il.16.469 κὰδ δ᾽ ἔπεσ᾽ ἐν κονίῃσι μακών, ἀπὸ δ᾽ ἔπτατο θυ̱μός.
Il.16.470 τὼ δὲ διαστήτην, κρίκε δὲ ζυγόν, ἡνία δέ σφι
Il.16.471 σύγχυτ᾽, ἐπεὶ δὴ κεῖτο παρήορος ἐν κονίῃσι.
Il.16.472 τοῖο μὲν Αὐτομέδων δουρικλυτὸς εὕρετο τέκμωρ·

Il.16.473 σπασσάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ
Il.16.474 ἀ̱ΐξα̱ς ἀπέκοψε παρήορον οὐδ᾽ ἐμάτησε·
Il.16.475 τὼ δ᾽ ἰ̱θυ̱νθήτην, ἐν δὲ ῥυ̱τῆρσι τάνυσθεν·
Il.16.476 τὼ δ᾽ αὖτις συνίτην ἔριδος πέρι θυ̱μοβόροιο.
Il.16.477 Ἔνθ᾽ αὖ Σαρπηδὼν μὲν ἀπήμβροτε δουρὶ φαεινῷ,
Il.16.478 Πατρόκλου δ᾽ ὑπὲρ ὦμον ἀριστερὸν ἤλυθ᾽ ἀκωκὴ
Il.16.479 ἔγχεος, οὐδ᾽ ἔβαλ᾽ αὐτόν· ὃ δ᾽ ὕστερος ὄρνυτο χαλκῷ
Il.16.480 Πάτροκλος· τοῦ δ᾽ οὐχ ἅλιον βέλος ἔκφυγε χειρός,
Il.16.481 ἀλλ᾽ ἔβαλ᾽ ἔνθ᾽ ἄρα τε φρένες ἔρχαται ἀμφ᾽ ἁδινὸν κῆρ.
Il.16.482 ἤριπε δ᾽ ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ἀχερωῒς
Il.16.483 ἠὲ πίτυ̱ς βλωθρή, τήν τ᾽ οὔρεσι τέκτονες ἄνδρες
Il.16.484 ἐξέταμον πελέκεσσι νεήκεσι νήϊον εἶναι·
Il.16.485 ὣς ὃ πρόσθ᾽ ἵππων καὶ δίφρου κεῖτο τανυσθεὶς
Il.16.486 βεβρυ̱χὼς κόνιος δεδραγμένος αἱματοέσσης.
Il.16.487 ἠΰτε ταῦρον ἔπεφνε λέων ἀγέληφι μετελθὼν
Il.16.488 αἴθωνα μεγάθυ̱μον ἐν εἰλιπόδεσσι βόεσσι,
Il.16.489 ὤλετό τε στενάχων ὑπὸ γαμφηλῇσι λέοντος,
Il.16.490 ὣς ὑπὸ Πατρόκλῳ Λυκίων ἀγὸς ἀσπιστά̱ων
Il.16.491 κτεινόμενος μενέαινε, φίλον δ᾽ ὀνόμηνεν ἑταῖρον·
Il.16.492 Γλαῦκε πέπον πολεμιστὰ μετ᾽ ἀνδράσι νῦν σε μάλα χρὴ
Il.16.493 αἰχμητήν τ᾽ ἔμεναι καὶ θαρσαλέον πολεμιστήν·
Il.16.494 νῦν τοι ἐελδέσθω πόλεμος κακός, εἰ θοός ἐσσι.
Il.16.495 πρῶτα μὲν ὄτρυ̱νον Λυκίων ἡγήτορας ἄνδρας
Il.16.496 πάντῃ ἐποιχόμενος Σαρπηδόνος ἀμφιμάχεσθαι·
Il.16.497 αὐτὰρ ἔπειτα καὶ αὐτὸς ἐμεῦ πέρι μάρναο χαλκῷ.
Il.16.498 σοὶ γὰρ ἐγὼ καὶ ἔπειτα κατηφείη καὶ ὄνειδος
Il.16.499 ἔσσομαι ἤματα πάντα διαμπερές, εἴ κέ μ᾽ Ἀχαιοὶ

Il.16.500 τεύχεα συ̱λήσωσι νεῶν ἐν ἀγῶνι πεσόντα.
Il.16.501 ἀλλ᾽ ἔχεο κρατερῶς, ὄτρυ̱νε δὲ λα̱ὸν ἅπαντα.
Il.16.502 Ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψεν
Il.16.503 ὀφθαλμοὺς ῥῖνάς θ᾽· ὃ δὲ λὰξ ἐν στήθεσι βαίνων
Il.16.504 ἐκ χροὸς ἕλκε δόρυ, προτὶ δὲ φρένες αὐτῷ ἕποντο·
Il.16.505 τοῖο δ᾽ ἅμα ψυ̱χήν τε καὶ ἔγχεος ἐξέρυσ᾽ αἰχμήν.
Il.16.506 Μυρμιδόνες δ᾽ αὐτοῦ σχέθον ἵππους φυ̱σιόωντας
Il.16.507 ἱ̱εμένους φοβέεσθαι, ἐπεὶ λίπον ἅρματ᾽ ἀνάκτων.
Il.16.508 Γλαύκῳ δ᾽ αἰνὸν ἄχος γένετο φθογγῆς ἀΐοντι·
Il.16.509 ὠρίνθη δέ οἱ ἦτορ ὅ τ᾽ οὐ δύνατο προσαμῦναι.
Il.16.510 χειρὶ δ᾽ ἑλὼν ἐπίεζε βραχι̱ίονα· τεῖρε γὰρ αὐτὸν
Il.16.511 ἕλκος, ὃ δή μιν Τεῦκρος ἐπεσσύμενον βάλεν ι̱ῷ
Il.16.512 τείχεος ὑψηλοῖο, ἀρὴν ἑτάροισιν ἀμύ̱νων.
Il.16.513 εὐχόμενος δ᾽ ἄρα εἶπεν ἑκηβόλῳ Ἀ̱πόλλωνι·
Il.16.514 κλῦθι ἄναξ ὅς που Λυκίης ἐν πι̱ίονι δήμῳ
Il.16.515 εἲς ἢ ἐνὶ Τροίῃ· δύνασαι δὲ σὺ πάντοσ᾽ ἀκούειν
Il.16.516 ἀ̱νέρι κηδομένῳ, ὡς νῦν ἐμὲ κῆδος ἱκά̱νει.
Il.16.517 ἕλκος μὲν γὰρ ἔχω τόδε καρτερόν, ἀμφὶ δέ μοι χεὶρ
Il.16.518 ὀξείῃς ὀδύνῃσιν ἐλήλαται, οὐδέ μοι αἷμα
Il.16.519 τερσῆναι δύναται, βαρύθει δέ μοι ὦμος ὑπ᾽ αὐτοῦ·
Il.16.520 ἔγχος δ᾽ οὐ δύναμαι σχεῖν ἔμπεδον, οὐδὲ μάχεσθαι
Il.16.521 ἐλθὼν δυσμενέεσσιν. ἀνὴρ δ᾽ ὤριστος ὄλωλε
Il.16.522 Σαρπηδὼν Διὸς υἱός· ὃ δ᾽ οὐ οὗ παιδὸς ἀμύ̱νει.
Il.16.523 ἀλλὰ σύ πέρ μοι ἄναξ τόδε καρτερὸν ἕλκος ἄκεσσαι,
Il.16.524 κοίμησον δ᾽ ὀδύνα̱ς, δὸς δὲ κράτος, ὄφρ᾽ ἑτάροισι
Il.16.525 κεκλόμενος Λυκίοισιν ἐποτρύ̱νω πολεμίζειν,
Il.16.526 αὐτός τ᾽ ἀμφὶ νέκυι κατατεθνηῶτι μάχωμαι.

Il.16.527 Ὣς ἔφατ´ εὐχόμενος, τοῦ δ´ ἔκλυε Φοῖβος Ἀπόλλων.
Il.16.528 αὐτίκα παῦσ´ ὀδύνα̱ς ἀπὸ δ´ ἕλκεος ἀργαλέοιο
Il.16.529 αἷμα μέλαν τέρσηνε, μένος δέ οἱ ἔμβαλε θυ̱μῷ.
Il.16.530 Γλαῦκος δ´ ἔγνω ᾗσιν ἐνὶ φρεσὶ γήθησέν τε
Il.16.531 ὅττι οἱ ὦκ´ ἤκουσε μέγας θεὸς εὐξαμένοιο.
Il.16.532 πρῶτα μὲν ὄτρυ̱νεν Λυκίων ἡγήτορας ἄνδρας
Il.16.533 πάντῃ ἐποιχόμενος Σαρπηδόνος ἀμφιμάχεσθαι·
Il.16.534 αὐτὰρ ἔπειτα μετὰ Τρῶας κίε μακρὰ βιβάσθων
Il.16.535 Που̱λυδάμαντ´ ἔπι Πανθοΐδην καὶ Ἀγήνορα δῖον,
Il.16.536 βῆ δὲ μετ´ Αἰνεία̱ν τε καὶ Ἕκτορα χαλκοκορυστήν,
Il.16.537 ἀγχοῦ δ´ ἱστάμενος ἔπεα πτερόεντα προσηύδα̱·
Il.16.538 Ἕκτορ νῦν δὴ πάγχυ λελασμένος εἰς ἐπικούρων,
Il.16.539 οἳ σέθεν εἵνεκα τῆλε φίλων καὶ πατρίδος αἴης
Il.16.540 θυ̱μὸν ἀποφθινύθουσι· σὺ δ´ οὐκ ἐθέλεις ἐπαμῦ̱νειν.
Il.16.541 κεῖται Σαρπηδὼν Λυκίων ἀγὸς ἀσπιστά̱ων,
Il.16.542 ὃς Λυκίην εἴρυ̱το δίκῃσί τε καὶ σθένεϊ̯ ᾧ·
Il.16.543 τὸν δ´ ὑπὸ Πατρόκλῳ δάμασ´ ἔγχεϊ χάλκεος Ἄ̱ρης.
Il.16.544 ἀλλὰ φίλοι πάρστητε, νεμεσσήθητε δὲ θυ̱μῷ,
Il.16.545 μὴ ἀπὸ τεύχε´ ἕλωνται, ἀεικίσσωσι δὲ νεκρὸν
Il.16.546 Μυρμιδόνες, Δαναῶν κεχολωμένοι ὅσσοι ὄλοντο,
Il.16.547 τοὺς ἐπὶ νηυσὶ θοῇσιν ἐπέφνομεν ἐγχείῃσιν.
Il.16.548 Ὣς ἔφατο, Τρῶας δὲ κατὰ κρῆθεν λάβε πένθος
Il.16.549 ἄσχετον, οὐκ ἐπιεικτόν, ἐπεί σφισιν ἕρμα πόληος
Il.16.550 ἔσκε καὶ ἀλλοδαπός περ ἐών· πολέες γὰρ ἅμ´ αὐτῷ
Il.16.551 λα̱οὶ ἕποντ´, ἐν δ´ αὐτὸς ἀριστεύεσκε μάχεσθαι·
Il.16.552 βὰν δ´ ἰ̱θὺς Δαναῶν λελιημένοι· ἦρχε δ´ ἄρά σφιν
Il.16.553 Ἕκτωρ χωόμενος Σαρπηδόνος. αὐτὰρ Ἀχαιοὺς

Il.16.554 ὦρσε Μενοιτιάδε͜ω Πατροκλῆος λάσιον κῆρ·
Il.16.555 Αἴαντε πρώτω προσέφη μεμαῶτε καὶ αὐτώ·
Il.16.556 Αἴαντε νῦν σφῶϊν ἀμῡ́νεσθαι φίλον ἔστω,
Il.16.557 οἷοί περ πάρος ἦτε μετ´ ἀνδράσιν ἢ καὶ ἀρείους.
Il.16.558 κεῖται ἀνὴρ ὃς πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν
Il.16.559 Σαρπηδών· ἀλλ´ εἴ μιν ἀεικισσαίμεθ´ ἑλόντες,
Il.16.560 τεύχεά τ´ ὤμοιιν ἀφελοίμεθα, καί τιν´ ἑταίρων
Il.16.561 αὐτοῦ ἀμῡνομένων δαμασαίμεθα νηλέϊ χαλκῷ.
Il.16.562 Ὣς ἔφαθ´, οἳ δὲ καὶ αὐτοὶ ἀλέξασθαι μενέαινον.
Il.16.563 οἳ δ´ ἐπεὶ ἀμφοτέρωθεν ἐκαρτῡ́ναντο φάλαγγας
Il.16.564 Τρῶες καὶ Λύκιοι καὶ Μυρμιδόνες καὶ Ἀχαιοί,
Il.16.565 σύμβαλον ἀμφὶ νέκυι κατατεθνηῶτι μάχεσθαι
Il.16.566 δεινὸν ἀῡ̈́σαντες· μέγα δ´ ἔβραχε τεύχεα φωτῶν.
Il.16.567 Ζεὺς δ´ ἐπὶ νύκτ´ ὀλοὴν τάνυσε κρατερῇ ὑσμῑ́νῃ,
Il.16.568 ὄφρα φίλῳ περὶ παιδὶ μάχης ὀλοὸς πόνος εἴη.
Il.16.569 Ὦσαν δὲ πρότεροι Τρῶες ἑλίκωπας Ἀχαιούς·
Il.16.570 βλῆτο γὰρ οὔ τι κάκιστος ἀνὴρ μετὰ Μυρμιδόνεσσιν
Il.16.571 υἱὸς Ἀγακλῆος μεγαθῡ́μου δῖος Ἐπειγεύς,
Il.16.572 ὅς ῥ´ ἐν Βουδείῳ εὖ ναιομένῳ ἤνασσε
Il.16.573 τὸ πρίν· ἀτὰρ τότε γ´ ἐσθλὸν ἀνεψιὸν ἐξεναρίξας
Il.16.574 ἐς Πηλῆ´ ἱκέτευσε καὶ ἐς Θέτιν ἀργυρόπεζαν·
Il.16.575 οἳ δ´ ἅμ´ Ἀχιλλῆϊ ῥηξήνορι πέμπον ἕπεσθαι
Il.16.576 Ἴ̱λιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μάχοιτο.
Il.16.577 τόν ῥα τόθ´ ἁπτόμενον νέκυος βάλε φαίδιμος Ἕκτωρ
Il.16.578 χερμαδίῳ κεφαλήν· ἣ δ´ ἄνδιχα πᾶσα κεάσθη
Il.16.579 ἐν κόρυθι βριαρῇ· ὃ δ´ ἄρα πρηνὴς ἐπὶ νεκρῷ
Il.16.580 κάππεσεν, ἀμφὶ δέ μιν θάνατος χύτο θῡμοραϊστής.

Il.16.581 Πατρόκλῳ δ᾽ ἄρ᾽ ἄχος γένετο φθιμένου ἑτάροιο,
Il.16.582 ἴ̱θυ̱σεν δὲ διὰ προμάχων ἴ̱ρηκι ἐοικὼς
Il.16.583 ὠκέϊ, ὅς τ᾽ ἐφόβησε κολοιούς τε ψῆράς τε·
Il.16.584 ὣς ἰ̱θὺς Λυκίων Πατρόκλεες ἱπποκέλευθε
Il.16.585 ἔσσυο καὶ Τρώων, κεχόλωσο δὲ κῆρ ἑτάροιο.
Il.16.586 καί ῥ᾽ ἔβαλε Σθενέλα̱ον Ἰθαιμένεος φίλον υἱὸν
Il.16.587 αὐχένα χερμαδίῳ, ῥῆξεν δ᾽ ἀπὸ τοῖο τένοντας.
Il.16.588 χώρησαν δ᾽ ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ.
Il.16.589 ὅσση δ᾽ αἰγανέης ῥι̱πὴ ταναοῖο τέτυκται,
Il.16.590 ἥν ῥά τ᾽ ἀνὴρ ἀφέῃ πειρώμενος ἢ ἐν ἀέθλῳ
Il.16.591 ἠὲ καὶ ἐν πολέμῳ δηΐων ὕπο θυ̱μοραϊστέ̱ω̱ν,
Il.16.592 τόσσον ἐχώρησαν Τρῶες, ὤσαντο δ᾽ Ἀχαιοί.
Il.16.593 Γλαῦκος δὲ πρῶτος Λυκίων ἀγὸς ἀσπιστά̱ων
Il.16.594 ἐτράπετ᾽, ἔκτεινεν δὲ Βαθυκλῆα μεγάθυ̱μον
Il.16.595 Χάλκωνος φίλον υἱόν, ὃς Ἑλλάδι οἰκία ναίων
Il.16.596 ὄλβῳ τε πλούτῳ τε μετέπρεπε Μυρμιδόνεσσι.
Il.16.597 τὸν μὲν ἄρα Γλαῦκος στῆθος μέσον οὔτασε δουρὶ
Il.16.598 στρεφθεὶς ἐξαπίνης, ὅτε μιν κατέμαρπτε διώκων·
Il.16.599 δούπησεν δὲ πεσών· πυκινὸν δ᾽ ἄχος ἔλλαβ᾽ Ἀχαιούς,
Il.16.600 ὡς ἔπεσ᾽ ἐσθλὸς ἀνήρ· μέγα δὲ Τρῶες κεχάροντο,
Il.16.601 στὰν δ᾽ ἀμφ᾽ αὐτὸν ἰόντες ἀολλέες· οὐδ᾽ ἄρ᾽ Ἀχαιοὶ
Il.16.602 ἀλκῆς ἐξελάθοντο, μένος δ᾽ ἰ̱θὺς φέρον αὐτῶν.
Il.16.603 ἔνθ᾽ αὖ Μηριόνης Τρώων ἕλεν ἄνδρα κορυστὴν
Il.16.604 Λα̱όγονον θρασὺν υἱὸν Ὀνήτορος, ὃς Διὸς ἱ̱ρεὺς
Il.16.605 Ἰ̱δαίου ἐτέτυκτο, θεὸς δ᾽ ὣς τί̱ετο δήμῳ.
Il.16.606 τὸν βάλ᾽ ὑπὸ γναθμοῖο καὶ οὔατος· ὦκα δὲ θυ̱μὸς
Il.16.607 ᾤχετ᾽ ἀπὸ μελέων, στυγερὸς δ᾽ ἄρα μιν σκότος εἷλεν.

Il.16.608 Αἰνεία̱ς δ᾽ ἐπὶ Μηριόνῃ δόρυ χάλκεον ἧκεν·
Il.16.609 ἔλπετο γὰρ τεύξεσθαι ὑπασπίδια προβιβῶντος.
Il.16.610 ἀλλ᾽ ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος·
Il.16.611 πρόσσω γὰρ κατέκυψε, τὸ δ᾽ ἐξόπιθεν δόρυ μακρὸν
Il.16.612 οὔδει ἐνισκίμφθη, ἐπὶ δ᾽ οὐρίαχος πελεμίχθη
Il.16.613 ἔγχεος· ἔνθα δ᾽ ἔπειτ᾽ ἀφίει μένος ὄβριμος Ἄ̱ρης.
Il.16.614 αἰχμὴ δ᾽ Αἰνεία̱ο κραδαινομένη κατὰ γαίης
Il.16.615 ᾤχετ᾽, ἐπεί ῥ᾽ ἅλιον στιβαρῆς ἀπὸ χειρὸς ὄρουσεν.
Il.16.616 Αἰνεία̱ς δ᾽ ἄρα θυ̱μὸν ἐχώσατο φώνησέν τε·
Il.16.617 Μηριόνη τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα
Il.16.618 ἔγχος ἐμὸν κατέπαυσε διαμπερές, εἴ σ᾽ ἔβαλόν περ.
Il.16.619 Τὸν δ᾽ αὖ Μηριόνης δουρικλυτὸς ἀντίον ηὔδα̱·
Il.16.620 Αἰνεία̱ χαλεπόν σε καὶ ἴφθι̱μόν περ ἐόντα
Il.16.621 πάντων ἀνθρώπων σβέσσαι μένος, ὅς κέ σευ ἄντα
Il.16.622 ἔλθῃ ἀμυ̱νόμενος· θνητὸς δέ νυ καὶ σὺ τέτυξαι.
Il.16.623 εἰ καὶ ἐγώ σε βάλοιμι τυχὼν μέσον ὀξέϊ χαλκῷ,
Il.16.624 αἶψά κε καὶ κρατερός περ ἐὼν καὶ χερσὶ πεποιθὼς
Il.16.625 εὖχος ἐμοὶ δοίης, ψυ̱χὴν δ᾽ Ἄϊδι κλυτοπώλῳ.
Il.16.626 Ὣς φάτο, τὸν δ᾽ ἐνένι̱πε Μενοιτίου ἄλκιμος υἱός·
Il.16.627 Μηριόνη τί σὺ ταῦτα καὶ ἐσθλὸς ἐὼν ἀγορεύεις;
Il.16.628 ὦ πέπον οὔ τοι Τρῶες ὀνειδείοις ἐπέεσσι
Il.16.629 νεκροῦ χωρήσουσι· πάρος τινὰ γαῖα καθέξει.
Il.16.630 ἐν γὰρ χερσὶ τέλος πολέμου, ἐπέων δ᾽ ἐνὶ βουλῇ·
Il.16.631 τὼ οὔ τι χρὴ μῦθον ὀφέλλειν, ἀλλὰ μάχεσθαι.
Il.16.632 Ὣς εἰπὼν ὃ μὲν ἦρχ᾽, ὃ δ᾽ ἅμ᾽ ἕσπετο ἰ̱σόθεος φώς.
Il.16.633 τῶν δ᾽ ὥς τε δρυτόμων ἀνδρῶν ὀρυμαγδὸς ὀρώρει
Il.16.634 οὔρεος ἐν βήσσῃς, ἕκαθεν δέ τε γίγνετ᾽ ἀκουή,

Il.16.635 ὣς τῶν ὄρνυτο δοῦπος ἀπὸ χθονὸς εὐρυοδείης
Il.16.636 χαλκοῦ τε ῥινοῦ τε βοῶν τ´ εὐποιητάων,
Il.16.637 νυσσομένων ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν.
Il.16.638 οὐδ´ ἂν ἔτι φράδμων περ ἀνὴρ Σαρπηδόνα δῖον
Il.16.639 ἔγνω, ἐπεὶ βελέεσσι καὶ αἵματι καὶ κονίῃσιν
Il.16.640 ἐκ κεφαλῆς εἴλυτο διαμπερὲς ἐς πόδας ἄκρους.
Il.16.641 οἳ δ´ αἰεὶ περὶ νεκρὸν ὁμίλεον, ὡς ὅτε μυῖαι
Il.16.642 σταθμῷ ἔνι βρομέωσι περιγλαγέας κατὰ πέλλας
Il.16.643 ὥρῃ ἐν εἰαρινῇ, ὅτε τε γλάγος ἄγγεα δεύει·
Il.16.644 ὣς ἄρα τοὶ περὶ νεκρὸν ὁμίλεον, οὐδέ ποτε Ζεὺς
Il.16.645 τρέψεν ἀπὸ κρατερῆς ὑσμίνης ὄσσε φαεινώ,
Il.16.646 ἀλλὰ κατ´ αὐτοὺς αἰὲν ὅρα καὶ φράζετο θυμῷ,
Il.16.647 πολλὰ μάλ´ ἀμφὶ φόνῳ Πατρόκλου μερμηρίζων,
Il.16.648 ἢ ἤδη καὶ κεῖνον ἐνὶ κρατερῇ ὑσμίνῃ
Il.16.649 αὐτοῦ ἐπ´ ἀντιθέῳ Σαρπηδόνι φαίδιμος Ἕκτωρ
Il.16.650 χαλκῷ δῃώσῃ, ἀπό τ´ ὤμων τεύχε´ ἕληται,
Il.16.651 ἦ ἔτι καὶ πλεόνεσσιν ὀφέλλειεν πόνον αἰπύν.
Il.16.652 ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι
Il.16.653 ὄφρ´ ἠῢς θεράπων Πηληϊάδεω Ἀχιλῆος
Il.16.654 ἐξαῦτις Τρῶάς τε καὶ Ἕκτορα χαλκοκορυστὴν
Il.16.655 ὤσαιτο προτὶ ἄστυ, πολέων δ´ ἀπὸ θυμὸν ἕλοιτο.
Il.16.656 Ἕκτορι δὲ πρωτίστῳ ἀνάλκιδα θυμὸν ἐνῆκεν·
Il.16.657 ἐς δίφρον δ´ ἀναβὰς φύγαδ´ ἔτραπε, κέκλετο δ´ ἄλλους
Il.16.658 Τρῶας φευγέμεναι· γνῶ γὰρ Διὸς ἱρὰ τάλαντα.
Il.16.659 ἔνθ´ οὐδ´ ἴφθιμοι Λύκιοι μένον, ἀλλὰ φόβηθεν
Il.16.660 πάντες, ἐπεὶ βασιλῆα ἴδον βεβλαμμένον ἦτορ
Il.16.661 κείμενον ἐν νεκύων ἀγύρει· πολέες γὰρ ἐπ´ αὐτῷ

Il.16.662 κάππεσον, εὖτ´ ἔριδα κρατερὴν ἐτάνυσσε Κρονί̱ων.
Il.16.663 οἳ δ´ ἄρ´ ἀπ´ ὤμοιιν Σαρπηδόνος ἔντε´ ἕλοντο
Il.16.664 χάλκεα μαρμαίροντα, τὰ μὲν κοίλα̱ς ἐπὶ νῆας
Il.16.665 δῶκε φέρειν ἑτάροισι Μενοιτίου ἄλκιμος υἱός.
Il.16.666 καὶ τότ´ Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύς·
Il.16.667 εἰ δ´ ἄγε νῦν φίλε Φοῖβε, κελαινεφὲς αἷμα κάθηρον
Il.16.668 ἐλθὼν ἐκ βελέων Σαρπηδόνα, καί μιν ἔπειτα
Il.16.669 πολλὸν ἀπὸ πρὸ φέρων λοῦσον ποταμοῖο ῥοῇσι
Il.16.670 χρῖσόν τ´ ἀμβροσίῃ, περὶ δ´ ἄμβροτα εἵματα ἕσσον·
Il.16.671 πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι
Il.16.672 ὕπνῳ καὶ θανάτῳ διδυμά̱οσιν, οἵ ῥά μιν ὦκα
Il.16.673 θήσουσ´ ἐν Λυκίης εὐρείης πί̱ονι δήμῳ,
Il.16.674 ἔνθά ἑ ταρχύ̱σουσι κασίγνητοί τε ἔται τε
Il.16.675 τύμβῳ τε στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων.
Il.16.676 Ὣς ἔφατ´, οὐδ´ ἄρα πατρὸς ἀνηκούστησεν Ἀπόλλων.
Il.16.677 βῆ δὲ κατ´ Ἰ̱δαίων ὀρέων ἐς φύ̱λοπιν αἰνήν,
Il.16.678 αὐτίκα δ´ ἐκ βελέων Σαρπηδόνα δῖον ἀείρα̱ς
Il.16.679 πολλὸν ἀπὸ πρὸ φέρων λοῦσεν ποταμοῖο ῥοῇσι
Il.16.680 χρῖσέν τ´ ἀμβροσίῃ, περὶ δ´ ἄμβροτα εἵματα ἕσσε·
Il.16.681 πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,
Il.16.682 ὕπνῳ καὶ θανάτῳ διδυμά̱οσιν, οἵ ῥά μιν ὦκα
Il.16.683 κάτθεσαν ἐν Λυκίης εὐρείης πί̱ονι δήμῳ.
Il.16.684 Πάτροκλος δ´ ἵπποισι καὶ Αὐτομέδοντι κελεύσα̱ς
Il.16.685 Τρῶας καὶ Λυκίους μετεκί̱αθε, καὶ μέγ´ ἀάσθη
Il.16.686 νήπιος· εἰ δὲ ἔπος Πηληϊάδα̱ο φύλαξεν
Il.16.687 ἦ τ´ ἂν ὑπέκφυγε κῆρα κακὴν μέλανος θανάτοιο.
Il.16.688 ἀλλ´ αἰεί τε Διὸς κρείσσων νόος ἠέ περ ἀνδρῶν·

Il.16.689 ὅς τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νί̱κην
Il.16.690 ῥηϊδίως, ὅτε δ᾽ αὐτὸς ἐποτρύ̱νῃσι μάχεσθαι·
Il.16.691 ὅς οἱ καὶ τότε θυ̱μὸν ἐνὶ στήθεσσιν ἀνῆκεν.
Il.16.692 Ἔνθα τίνα πρῶτον τίνα δ᾽ ὕστατον ἐξενάριξας
Il.16.693 Πατρόκλεις, ὅτε δή σε θεοὶ θάνατον δὲ κάλεσσαν;
Il.16.694 Ἄδρηστον μὲν πρῶτα καὶ Αὐτόνοον καὶ Ἔχεκλον
Il.16.695 καὶ Πέριμον Μεγάδην καὶ Ἐπίστορα καὶ Μελάνιππον,
Il.16.696 αὐτὰρ ἔπειτ᾽ Ἔλασον καὶ Μούλιον ἠδὲ Πυλάρτην·
Il.16.697 τοὺς ἕλεν· οἳ δ᾽ ἄλλοι φύγαδε μνώοντο ἕκαστος.
Il.16.698 Ἔνθά κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν
Il.16.699 Πατρόκλου ὑπὸ χερσί, περὶ πρὸ γὰρ ἔγχεϊ θῦεν,
Il.16.700 εἰ μὴ Ἀπόλλων Φοῖβος ἐϋδμήτου ἐπὶ πύργου
Il.16.701 ἔστη τῷ ὀλοὰ φρονέων, Τρώεσσι δ᾽ ἀρήγων.
Il.16.702 τρὶς μὲν ἐπ᾽ ἀγκῶνος βῆ τείχεος ὑψηλοῖο
Il.16.703 Πάτροκλος, τρὶς δ᾽ αὐτὸν ἀπεστυφέλιξεν Ἀπόλλων
Il.16.704 χείρεσσ᾽ ἀ̱θανάτῃσι φαεινὴν ἀσπίδα νύσσων.
Il.16.705 ἀλλ᾽ ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος,
Il.16.706 δεινὰ δ᾽ ὁμοκλήσα̱ς ἔπεα πτερόεντα προσηύδα̱·
Il.16.707 χάζεο δι̱ογενὲς Πατρόκλεες· οὔ νύ τοι αἶσα
Il.16.708 σῷ ὑπὸ δουρὶ πόλιν πέρθαι Τρώων ἀγερώχων,
Il.16.709 οὐδ᾽ ὑπ᾽ Ἀχιλλῆος, ὅς περ σέο πολλὸν ἀμείνων.
Il.16.710 Ὣς φάτο, Πάτροκλος δ᾽ ἀνεχάζετο πολλὸν ὀπίσσω
Il.16.711 μῆνιν ἀλευάμενος ἑκατηβόλου Ἀ̱πόλλωνος.
Il.16.712 Ἕκτωρ δ᾽ ἐν Σκαιῇσι πύλῃς ἔχε μώνυχας ἵππους·
Il.16.713 δίζε γὰρ ἠὲ μάχοιτο κατὰ κλόνον αὖτις ἐλάσσα̱ς,
Il.16.714 ἦ λα̱οὺς ἐς τεῖχος ὁμοκλήσειεν ἀλῆναι.
Il.16.715 ταῦτ᾽ ἄρα οἱ φρονέοντι παρί̱στατο Φοῖβος Ἀπόλλων

Il.16.716 ἀ̱νέρι εἰσάμενος αἰζηῷ τε κρατερῷ τε
Il.16.717 Ἀ̱σίῳ, ὃς μήτρως ἦν Ἕκτορος ἱπποδάμοιο
Il.16.718 αὐτοκασίγνητος Ἑκάβης, υἱὸς δὲ Δύμαντος,
Il.16.719 ὃς Φρυγίῃ ναίεσκε ῥοῇς ἔπι Σαγγαρίοιο·
Il.16.720 τῷ μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων·
Il.16.721 Ἕκτορ τίπτε μάχης ἀποπαύεαι; οὐδέ τί σε χρή.
Il.16.722 αἴθ΄ ὅσον ἥσσων εἰμί, τόσον σέο φέρτερος εἴην·
Il.16.723 τώ κε τάχα στυγερῶς πολέμου ἀπερωήσειας.
Il.16.724 ἀλλ΄ ἄγε Πατρόκλῳ ἔφεπε κρατερώνυχας ἵππους,
Il.16.725 αἴ κέν πώς μιν ἕλῃς, δώῃ δέ τοι εὖχος Ἀπόλλων.
Il.16.726 Ὣς εἰπὼν ὃ μὲν αὖτις ἔβη θεὸς ἂμ πόνον ἀνδρῶν,
Il.16.727 Κεβριόνῃ δ΄ ἐκέλευσε δαΐφρονι φαίδιμος Ἕκτωρ
Il.16.728 ἵππους ἐς πόλεμον πεπληγέμεν. αὐτὰρ Ἀπόλλων
Il.16.729 δυ̱σεθ΄ ὅμι̱λον ἰών, ἐν δὲ κλόνον Ἀργείοισιν
Il.16.730 ἧκε κακόν, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδος ὄπαζεν.
Il.16.731 Ἕκτωρ δ΄ ἄλλους μὲν Δαναοὺς ἔα οὐδ΄ ἐνάριζεν·
Il.16.732 αὐτὰρ ὃ Πατρόκλῳ ἔφεπε κρατερώνυχας ἵππους.
Il.16.733 Πάτροκλος δ΄ ἑτέρωθεν ἀφ΄ ἵππων ἆλτο χαμᾶζε
Il.16.734 σκαιῇ ἔγχος ἔχων· ἑτέρηφι δὲ λάζετο πέτρον
Il.16.735 μάρμαρον ὀκριόεντα τόν οἱ περὶ χεὶρ ἐκάλυψεν,
Il.16.736 ἧκε δ΄ ἐρεισάμενος, οὐδὲ̮ δὴν χάζετο φωτός,
Il.16.737 οὐδ΄ ἁλίωσε βέλος, βάλε δ΄ Ἕκτορος ἡνιοχῆα
Il.16.738 Κεβριόνην νόθον υἱὸν ἀγακλῆος Πριάμοιο
Il.16.739 ἵππων ἡνί΄ ἔχοντα μετώπιον ὀξέϊ λᾶϊ.
Il.16.740 ἀμφοτέρα̱ς δ΄ ὀφρῦς σύνελεν λίθος, οὐδέ οἱ ἔσχεν
Il.16.741 ὀστέον, ὀφθαλμοὶ δὲ χαμαὶ πέσον ἐν κονίῃσιν
Il.16.742 αὐτοῦ πρόσθε ποδῶν· ὃ δ΄ ἄρ΄ ἀρνευτῆρι ἐοικὼς

Il.16.743 κάππεσ᾽ ἀπ᾽ εὐεργέ̱ο̱ς δίφρου, λίπε δ᾽ ὀστέα θυ̱μός.
Il.16.744 τὸν δ᾽ ἐπικερτομέων προσέφης Πατρόκλεες ἱππεῦ·
Il.16.745 ὢ πόποι ἦ μάλ᾽ ἐλαφρὸς ἀνήρ, ὡς ῥεῖα κυβιστᾷ.
Il.16.746 εἰ δή που καὶ πόντῳ ἐν ἰχθυόεντι γένοιτο,
Il.16.747 πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε τήθεα δι̱φῶν
Il.16.748 νηὸς ἀποθρῴσκων, εἰ καὶ δυσπέμφελος εἴη,
Il.16.749 ὡς νῦν ἐν πεδίῳ ἐξ ἵππων ῥεῖα κυβιστᾷ.
Il.16.750 ἦ ῥα καὶ ἐν Τρώεσσι κυβιστητῆρες ἔα̱σιν.
Il.16.751 Ὣς εἰπὼν ἐπὶ Κεβριόνῃ ἥρωϊ βεβήκει
Il.16.752 οἶμα λέοντος ἔχων, ὅς τε σταθμοὺς κεραΐζων
Il.16.753 ἔβλητο πρὸς στῆθος, ἑή τέ μιν ὤλεσεν ἀλκή·
Il.16.754 ὣς ἐπὶ Κεβριόνῃ Πατρόκλεες ἆλσο μεμα̱ώς.
Il.16.755 Ἕκτωρ δ᾽ αὖθ᾽ ἑτέρωθεν ἀφ᾽ ἵππων ἆλτο χαμᾶζε.
Il.16.756 τὼ περὶ Κεβριόνα̱ο λέονθ᾽ ὣς δηρινθήτην,
Il.16.757 ὥ τ᾽ ὄρεος κορυφῇσι περὶ κταμένης ἐλάφοιο
Il.16.758 ἄμφω πεινά̱οντε μέγα φρονέοντε μάχεσθον·
Il.16.759 ὣς περὶ Κεβριόνα̱ο δύω μήστωρες ἀῢ̱τῆς
Il.16.760 Πάτροκλός τε Μενοιτιάδης καὶ φαίδιμος Ἕκτωρ
Il.16.761 ἵ̱εντ᾽ ἀλλήλων ταμέειν χρόα νηλέϊ χαλκῷ.
Il.16.762 Ἕκτωρ μὲν κεφαλῆφιν ἐπεὶ λάβεν οὐχὶ μεθί̱ει·
Il.16.763 Πάτροκλος δ᾽ ἑτέρωθεν ἔχεν ποδός· οἳ δὲ δὴ ἄλλοι
Il.16.764 Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμί̱νην.
Il.16.765 Ὡς δ᾽ Εὖρός τε Νότος τ᾽ ἐριδαίνετον ἀλλήλοιιν
Il.16.766 οὔρεος ἐν βήσσῃς βαθέην πελεμιζέμεν ὕ̱λην
Il.16.767 φηγόν τε μελίην τε τανύφλοιόν τε κράνειαν,
Il.16.768 αἵ τε πρὸς ἀλλήλα̱ς ἔβαλον τανυήκεας ὄζους
Il.16.769 ἠχῇ θεσπεσίῃ, πάταγος δέ τε ἀγνυμενά̱ων,

Il.16.770 ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ´ ἀλλήλοισι θορόντες
Il.16.771 δῄουν, οὐδ´ ἕτεροι μνώοντ´ ὀλοοῖο φόβοιο.
Il.16.772 πολλὰ δὲ Κεβριόνην ἀμφ´ ὀξέα δοῦρα πεπήγει
Il.16.773 ἰοί τε πτερόεντες ἀπὸ νευρῆφι θορόντες,
Il.16.774 πολλὰ δὲ χερμάδια μεγάλ´ ἀσπίδας ἐστυφέλιξαν
Il.16.775 μαρναμένων ἀμφ´ αὐτόν· ὃ δ´ ἐν στροφάλιγγι κονίης
Il.16.776 κεῖτο μέγας μεγαλωστί, λελασμένος ἱπποσυνάων.
Il.16.777 Ὄφρα μὲν Ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει,
Il.16.778 τόφρα μάλ´ ἀμφοτέρων βέλε´ ἥπτετο, πῖπτε δὲ λαός·
Il.16.779 ἦμος δ´ Ἠέλιος μετενίσετο βουλυτὸν δέ,
Il.16.780 καὶ τότε δή ῥ´ ὑπὲρ αἶσαν Ἀχαιοὶ φέρτεροι ἦσαν.
Il.16.781 ἐκ μὲν Κεβριόνην βελέων ἥρωα ἔρυσσαν
Il.16.782 Τρώων ἐξ ἐνοπῆς, καὶ ἀπ´ ὤμων τεύχε´ ἕλοντο,
Il.16.783 Πάτροκλος δὲ Τρωσὶ κακὰ φρονέων ἐνόρουσε.
Il.16.784 τρὶς μὲν ἔπειτ´ ἐπόρουσε θοῷ ἀτάλαντος Ἄρηϊ
Il.16.785 σμερδαλέα ἰάχων, τρὶς δ´ ἐννέα φῶτας ἔπεφνεν.
Il.16.786 ἀλλ´ ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος,
Il.16.787 ἔνθ´ ἄρα τοι Πάτροκλε φάνη βιότοιο τελευτή·
Il.16.788 ἤντετο γάρ τοι Φοῖβος ἐνὶ κρατερῇ ὑσμίνῃ
Il.16.789 δεινός· ὃ μὲν τὸν ἰόντα κατὰ κλόνον οὐκ ἐνόησεν,
Il.16.790 ἠέρι γὰρ πολλῇ κεκαλυμμένος ἀντεβόλησε·
Il.16.791 στῆ δ´ ὄπιθεν, πλῆξεν δὲ μετάφρενον εὐρέε τ´ ὤμω
Il.16.792 χειρὶ καταπρηνεῖ, στρεφεδίνηθεν δέ οἱ ὄσσε.
Il.16.793 τοῦ δ´ ἀπὸ μὲν κρατὸς κυνέην βάλε Φοῖβος Ἀπόλλων·
Il.16.794 ἣ δὲ κυλινδομένη καναχὴν ἔχε ποσσὶν ὑφ´ ἵππων
Il.16.795 αὐλῶπις τρυφάλεια, μιάνθησαν δὲ ἔθειραι
Il.16.796 αἵματι καὶ κονίῃσι· πάρος γε μὲν οὐ θέμις ἦεν

Il.16.797 ἱππόκομον πήληκα μιαίνεσθαι κονίῃσιν,
Il.16.798 ἀλλ᾽ ἀνδρὸς θείοιο κάρη χαρίεν τε μέτωπον
Il.16.799 ῥῦετ᾽ Ἀχιλλῆος· τότε δὲ Ζεὺς Ἕκτορι δῶκεν
Il.16.800 ᾗ κεφαλῇ φορέειν, σχεδόθεν δέ οἱ ἦεν ὄλεθρος.
Il.16.801 πᾶν δέ οἱ ἐν χείρεσσιν ἄγη δολιχόσκιον ἔγχος
Il.16.802 βρι̱θὺ μέγα στιβαρὸν κεκορυθμένον· αὐτὰρ ἀπ᾽ ὤμων
Il.16.803 ἀσπὶς σὺν τελαμῶνι χαμαὶ πέσε τερμιόεσσα.
Il.16.804 λῦσε δέ οἱ θώρηκα ἄναξ Διὸς υἱὸς Ἀπόλλων.
Il.16.805 τὸν δ᾽ ἄ̱τη φρένας εἷλε, λύθεν δ᾽ ὑπὸ φαίδιμα γυῖα,
Il.16.806 στῆ δὲ ταφών· ὄπιθεν δὲ μετάφρενον ὀξέϊ δουρὶ
Il.16.807 ὤμων μεσσηγὺς σχεδόθεν βάλε Δάρδανος ἀ̱νὴρ
Il.16.808 Πανθοΐδης Εὔφορβος, ὃς ἡλικίην ἐκέκαστο
Il.16.809 ἔγχεΐ θ᾽ ἱπποσύνῃ τε πόδεσσί τε καρπαλίμοισι·
Il.16.810 καὶ γὰρ δὴ τότε φῶτας ἐείκοσι βῆσεν ἀφ᾽ ἵππων
Il.16.811 πρῶτ᾽ ἐλθὼν σὺν ὄχεσφι διδασκόμενος πολέμοιο·
Il.16.812 ὅς τοι πρῶτος ἐφῆκε βέλος Πατρόκλεες ἱππεῦ
Il.16.813 οὐδὲ δάμασσ᾽· ὃ μὲν αὖτις ἀνέδραμε, μίκτο δ᾽ ὁμί̱λῳ,
Il.16.814 ἐκ χροὸς ἁρπάξα̱ς δόρυ μείλινον, οὐδ᾽ ὑπέμεινε
Il.16.815 Πάτροκλον γυμνόν περ ἐόντ᾽ ἐν δηϊοτῆτι.
Il.16.816 Πάτροκλος δὲ θεοῦ πληγῇ καὶ δουρὶ δαμασθεὶς
Il.16.817 ἂψ ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ᾽ ἀλεείνων.
Il.16.818 Ἕκτωρ δ᾽ ὡς εἶδεν Πατροκλῆα μεγάθυ̱μον
Il.16.819 ἂψ ἀναχαζόμενον βεβλημένον ὀξέϊ χαλκῷ,
Il.16.820 ἀγχίμολόν ῥά οἱ ἦλθε κατὰ στίχας, οὖτα δὲ δουρὶ
Il.16.821 νείατον ἐς κενεῶνα, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε·
Il.16.822 δούπησεν δὲ πεσών, μέγα δ᾽ ἤκαχε λα̱ὸν Ἀχαιῶν·
Il.16.823 ὡς δ᾽ ὅτε σῦν ἀκάμαντα λέων ἐβιήσατο χάρμῃ,

Il.16.824 ὥ τ᾽ ὄρεος κορυφῇσι μέγα φρονέοντε μάχεσθον

Il.16.825 πίδακος ἀμφ᾽ ὀλίγης· ἐθέλουσι δὲ πιέμεν ἄμφω·

Il.16.826 πολλὰ δέ τ᾽ ἀσθμαίνοντα λέων ἐδάμασσε βίηφιν·

Il.16.827 ὣς πολέας πεφνόντα Μενοιτίου ἄλκιμον υἱὸν

Il.16.828 Ἕκτωρ Πριαμίδης σχεδὸν ἔγχεϊ θυμὸν ἀπηύρα,

Il.16.829 καί οἱ ἐπευχόμενος ἔπεα πτερόεντα προσηύδα·

Il.16.830 Πάτροκλ᾽ ἦ που ἔφησθα πόλιν κεραϊξέμεν ἁμήν,

Il.16.831 Τρωϊάδας δὲ γυναῖκας ἐλεύθερον ἦμαρ ἀπούρας

Il.16.832 ἄξειν ἐν νήεσσι φίλην ἐς πατρίδα γαῖαν

Il.16.833 νήπιε· τάων δὲ πρόσθ᾽ Ἕκτορος ὠκέες ἵπποι

Il.16.834 ποσσὶν ὀρωρέχαται πολεμίζειν· ἔγχεϊ δ᾽ αὐτὸς

Il.16.835 Τρωσὶ φιλοπτολέμοισι μεταπρέπω, ὅ σφιν ἀμύνω

Il.16.836 ἦμαρ ἀναγκαῖον· σὲ δέ τ᾽ ἐνθάδε γῦπες ἔδονται.

Il.16.837 ἆ δείλ᾽, οὐδέ τοι ἐσθλὸς ἐὼν χραίσμησεν Ἀχιλλεύς,

Il.16.838 ὅς πού τοι μάλα πολλὰ μένων ἐπετέλλετ᾽ ἰόντι·

Il.16.839 μή μοι πρὶν ἰέναι Πατρόκλεες ἱπποκέλευθε

Il.16.840 νῆας ἔπι γλαφυρὰς πρὶν Ἕκτορος ἀνδροφόνοιο

Il.16.841 αἱματόεντα χιτῶνα περὶ στήθεσσι δαΐξαι.

Il.16.842 ὥς πού σε προσέφη, σοὶ δὲ φρένας ἄφρονι πεῖθε.

Il.16.843 Τὸν δ᾽ ὀλιγοδρανέων προσέφης Πατρόκλεες ἱππεῦ·

Il.16.844 ἤδη νῦν Ἕκτορ μεγάλ᾽ εὔχεο· σοὶ γὰρ ἔδωκε

Il.16.845 νίκην Ζεὺς Κρονίδης καὶ Ἀπόλλων, οἵ με δάμασσαν

Il.16.846 ῥηϊδίως· αὐτοὶ γὰρ ἀπ᾽ ὤμων τεύχε᾽ ἕλοντο.

Il.16.847 τοιοῦτοι δ᾽ εἴ πέρ μοι ἐείκοσιν ἀντεβόλησαν,

Il.16.848 πάντές κ᾽ αὐτόθ᾽ ὄλοντο ἐμῷ ὑπὸ δουρὶ δαμέντες.

Il.16.849 ἀλλά με μοῖρ᾽ ὀλοὴ καὶ Λητοῦς ἔκτανεν υἱός,

Il.16.850 ἀνδρῶν δ᾽ Εὔφορβος· σὺ δέ με τρίτος ἐξεναρίζεις.

Il.16.851 ἄλλο δέ τοι ἐρέω, σὺ δ´ ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
Il.16.852 οὔ θην οὐδ´ αὐτὸς δηρὸν βέῃ, ἀλλά τοι ἤδη
Il.16.853 ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιὴ
Il.16.854 χερσὶ δαμέντ´ Ἀχιλῆος ἀμύ̱μονος Αἰακίδα̱ο.
Il.16.855 Ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε·
Il.16.856 ψυ̱χὴ δ´ ἐκ ῥεθέων πταμένη Ἄϊδος δὲ βεβήκει
Il.16.857 ὃν πότμον γοόωσα λιποῦσ´ ἀ̥νδροτῆτα καὶ ἥβην.
Il.16.858 τὸν καὶ τεθνηῶτα προσηύδα̱ φαίδιμος Ἕκτωρ·
Il.16.859 Πατρόκλεις τί̥ νύ μοι μαντεύεαι αἰπὺν ὄλεθρον;
Il.16.860 τίς δ´ οἶδ´ εἴ κ´ Ἀχιλεὺς Θέτιδος πάϊς ἠϋκόμοιο
Il.16.861 φθήῃ ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυ̱μὸν ὀλέσσαι;
Il.16.862 Ὣς ἄρα φωνήσα̱ς δόρυ χάλκεον ἐξ ὠτειλῆς
Il.16.863 εἴρυσε λὰξ προσβά̱ς, τὸν δ´ ὕπτιον ὦσ´ ἀπὸ δουρός.
Il.16.864 αὐτίκα δὲ ξὺν δουρὶ μετ´ Αὐτομέδοντα βεβήκει
Il.16.865 ἀντίθεον θεράποντα ποδώκεος Αἰακίδα̱ο·
Il.16.866 ἵ̱ετο γὰρ βαλέειν· τὸν δ´ ἔκφερον ὠκέες ἵπποι
Il.16.867 ἄμβροτοι, οὓς Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα.

Il.17.1 Οὐδ᾽ ἔλαθ᾽ Ἀτρέος υἱὸν ἀρηΐφιλον Μενέλα̱ον

Il.17.2 Πάτροκλος Τρώεσσι δαμεὶς ἐν δηϊοτῆτι.

Il.17.3 βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ,

Il.17.4 ἀμφὶ δ᾽ ἄρ᾽ αὐτῷ βαῖν᾽ ὥς τις περὶ πόρτακι μήτηρ

Il.17.5 πρωτοτόκος κινυρὴ οὐ πρὶν εἰδυῖα τόκοιο·

Il.17.6 ὣς περὶ Πατρόκλῳ βαῖνε ξανθὸς Μενέλα̱ος.

Il.17.7 πρόσθε δέ οἱ δόρυ τ᾽ ἔσχε καὶ ἀσπίδα πάντοσ᾽ ἐΐ̱σην,

Il.17.8 τὸν κτάμεναι μεμαὼς ὅς τις τοῦ γ᾽ ἀντίος ἔλθοι̱.

Il.17.9 οὐδ᾽ ἄρα Πάνθου υἱὸς ἐϋμμελίης ἀμέλησε

Il.17.10 Πατρόκλοιο πεσόντος ἀμύ̱μονος· ἄγχι δ᾽ ἄρ᾽ αὐτοῦ

Il.17.11 ἔστη, καὶ προσέειπεν ἀρηΐφιλον Μενέλα̱ον·

Il.17.12 Ἀτρεΐδη Μενέλα̱ε διοτρεφὲς ὄρχαμε λα̱ῶν

Il.17.13 χάζεο, λεῖπε δὲ νεκρόν, ἔα̱ δ᾽ ἔναρα βροτόεντα·

Il.17.14 οὐ γάρ τις πρότερος Τρώων κλειτῶν τ᾽ ἐπικούρων

Il.17.15 Πάτροκλον βάλε δουρὶ κατὰ κρατερὴν ὑσμί̱νην·

Il.17.16 τώ με ἔα κλέος ἐσθλὸν ἐνὶ Τρώεσσιν ἀρέσθαι,

Il.17.17 μή σε βάλω, ἀπὸ δὲ μελιηδέα θυ̱μὸν ἕλωμαι.

Il.17.18 Τὸν δὲ μέγ᾽ ὀχθήσα̱ς προσέφη ξανθὸς Μενέλα̱ος·

Il.17.19 Ζεῦ πάτερ οὐ μὲν κα̱λὸν ὑπέρβιον εὐχετάασθαι.

Il.17.20 οὔτ᾽ οὖν παρδάλιος τόσσον μένος οὔτε λέοντος

Il.17.21 οὔτε συὸς κάπρου ὀλοόφρονος, οὗ τε μέγιστος

Il.17.22 θυ̱μὸς ἐνὶ στήθεσσι περὶ σθένεϊ βλεμεαίνει,

Il.17.23 ὅσσον Πάνθου υἷες ἐϋμμελίαι φρονέουσιν.

Il.17.24 οὐδὲ μὲν οὐδὲ βίη Ὑπερήνορος ἱπποδάμοιο

Il.17.25 ἧς ἥβης ἀπόνηθ᾽, ὅτε μ᾽ ὤνατο καί μ᾽ ὑπέμεινε

Il.17.26 καί μ᾽ ἔφατ᾽ ἐν Δαναοῖσιν ἐλέγχιστον πολεμιστὴν

Il.17.27 ἔμμεναι· οὐδέ ἕ φημι πόδεσσί γε οἷσι κιόντα

Il.17.28 εὐφρῆναι ἄλοχόν τε φίλην κεδνούς τε τοκῆας.

Il.17.29 ὥς θην καὶ σὸν ἐγὼ λύ̱σω μένος εἴ κέ μευ ἄντα

Il.17.30 στήῃς· ἀλλά σ´ ἔγωγ´ ἀναχωρήσαντα κελεύω

Il.17.31 ἐς πληθὺν ἰέναι, μηδ´ ἀντίος ἵστασ´ ἐμεῖο

Il.17.32 πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω.

Il.17.33 Ὣς φάτο, τὸν δ´ οὐ πεῖθεν· ἀμειβόμενος δὲ προσηύδα̱·

Il.17.34 νῦν μὲν δὴ Μενέλα̱ε διοτρεφὲς ἦ μάλα τείσεις

Il.17.35 γνωτὸν ἐμὸν τὸν ἔπεφνες, ἐπευχόμενος δ´ ἀγορεύεις,

Il.17.36 χήρωσας δὲ γυναῖκα μυχῷ θαλάμοιο νέοιο,

Il.17.37 ἀ̱ρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας.

Il.17.38 ἦ κέ σφιν δειλοῖσι γόου κατάπαυμα γενοίμην

Il.17.39 εἴ κεν ἐγὼ κεφαλήν τε τεὴν καὶ τεύχε´ ἐνείκα̱ς

Il.17.40 Πάνθῳ ἐν χείρεσσι βάλω καὶ Φρόντιδι δί̱ῃ.

Il.17.41 ἀλλ´ οὐ μὰ̱ν ἔτι δηρὸν ἀπείρητος πόνος ἔσται

Il.17.42 οὐδ´ ἔτ´ ἀδήρι̱τος ἤτ´ ἀλκῆς ἦτε φόβοιο.

Il.17.43 Ὣς εἰπὼν οὔτησε κατ´ ἀσπίδα πάντοσ´ ἐΐ̱σην·

Il.17.44 οὐδ´ ἔρρηξεν χαλκός, ἀνεγνάμφθη δέ οἱ αἰχμὴ

Il.17.45 ἀσπίδ´ ἐνὶ κρατερῇ· ὃ δὲ δεύτερος ὄρνυτο χαλκῷ

Il.17.46 Ἀτρεΐδης Μενέλα̱ος ἐπευξάμενος Διὶ πατρί·

Il.17.47 ἂψ δ´ ἀναχαζομένοιο κατὰ στομάχοιο θέμεθλα

Il.17.48 νύξ´, ἐπὶ δ´ αὐτὸς ἔρεισε βαρείῃ χειρὶ πιθήσα̱ς·

Il.17.49 ἀντικρὺ̱ δ´ ἁπαλοῖο δι´ αὐχένος ἤλυθ´ ἀκωκή,

Il.17.50 δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε´ ἐπ´ αὐτῷ.

Il.17.51 αἵματί οἱ δεύοντο κόμαι Χαρίτεσσιν ὁμοῖαι

Il.17.52 πλοχμοί θ´, οἳ χρυ̱σῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο.

Il.17.53 οἷον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης

Il.17.54 χώρῳ ἐν οἰοπόλῳ, ὅθ´ ἅλις ἀναβέβροχεν ὕδωρ,

Il.17.55 κα̱λὸν τηλεθάον· τὸ δέ τε πνοιαὶ δονέουσι
Il.17.56 παντοίων ἀνέμων, καί τε βρύει ἄνθεϊ λευκῷ·
Il.17.57 ἐλθὼν δ´ ἐξαπίνης ἄνεμος σὺν λαίλαπι πολλῇ
Il.17.58 βόθρου τ´ ἐξέστρεψε καὶ ἐξετάνυσσ´ ἐπὶ γαίῃ·
Il.17.59 τοῖον Πάνθου υἱὸν ἐϋμμελίην Εὔφορβον
Il.17.60 Ἀτρεΐδης Μενέλα̱ος ἐπεὶ κτάνε τεύχε´ ἐσυ̱λα̱.
Il.17.61 Ὡς δ´ ὅτε τίς τε λέων ὀρεσίτροφος ἀλκὶ πεποιθὼς
Il.17.62 βοσκομένης ἀγέλης βοῦν ἁρπάσῃ ἥ τις ἀρίστη·
Il.17.63 τῆς δ´ ἐξ αὐχέν´ ἔαξε λαβὼν κρατεροῖσιν ὀδοῦσι
Il.17.64 πρῶτον, ἔπειτα δέ θ´ αἷμα καὶ ἔγκατα πάντα λαφύσσει
Il.17.65 δῃῶν· ἀμφὶ δὲ τόν γε κύνες τ´ ἄνδρές τε νομῆες
Il.17.66 πολλὰ μάλ´ ι̱ΰζουσιν ἀπόπροθεν οὐδ´ ἐθέλουσιν
Il.17.67 ἀντίον ἐλθέμεναι· μάλα γὰρ χλωρὸν δέος αἱρεῖ·
Il.17.68 ὣς τῶν οὔ τινι θυ̱μὸς ἐνὶ στήθεσσιν ἐτόλμα̱
Il.17.69 ἀντίον ἐλθέμεναι Μενελά̱ου κυ̱δαλίμοιο.
Il.17.70 ἔνθά κε ῥεῖα φέροι κλυτὰ τεύχεα Πανθοΐδα̱ο
Il.17.71 Ἀτρεΐδης, εἰ μή οἱ ἀγάσσατο Φοῖβος Ἀπόλλων,
Il.17.72 ὅς ῥά οἱ Ἕκτορ´ ἐπῶρσε θοῷ ἀτάλαντον Ἄρηϊ
Il.17.73 ἀ̱νέρι εἰσάμενος Κικόνων ἡγήτορι Μέντῃ·
Il.17.74 καί μιν φωνήσα̱ς ἔπεα πτερόεντα προσηύδα̱·
Il.17.75 Ἕκτορ νῦν σὺ μὲν ὧδε θέεις ἀκίχητα διώκων
Il.17.76 ἵππους Αἰακίδα̱ο δαΐφρονος· οἳ δ´ ἀλεγεινοὶ
Il.17.77 ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ´ ὀχέεσθαι
Il.17.78 ἄλλῳ γ´ ἢ Ἀχιλῆϊ, τὸν ἀ̱θανάτη τέκε μήτηρ.
Il.17.79 τόφρα δέ τοι Μενέλα̱ος ἀρήϊος Ἀτρέος υἱὸς
Il.17.80 Πατρόκλῳ περιβὰ̱ς Τρώων τὸν ἄριστον ἔπεφνε
Il.17.81 Πανθοΐδην Εὔφορβον, ἔπαυσε δὲ θούριδος ἀλκῆς.

Il.17.82 Ὣς εἰπὼν ὃ μὲν αὖτις ἔβη θεὸς ἂμ πόνον ἀνδρῶν,
Il.17.83 Ἕκτορα δ᾽ αἰνὸν ἄχος πύκασε φρένας ἀμφὶ μελαίνας·
Il.17.84 πάπτηνεν δ᾽ ἄρ᾽ ἔπειτα κατὰ στίχας, αὐτίκα δ᾽ ἔγνω
Il.17.85 τὸν μὲν ἀπαινύμενον κλυτὰ τεύχεα, τὸν δ᾽ ἐπὶ γαίῃ
Il.17.86 κείμενον· ἔρρει δ᾽ αἷμα κατ᾽ οὐταμένην ὠτειλήν.
Il.17.87 βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ
Il.17.88 ὀξέα κεκλήγων φλογὶ εἴκελος Ἡφαίστοιο
Il.17.89 ἀσβέστῳ· οὐδ᾽ υἱὸν λάθεν Ἀτρέος ὀξὺ βοήσας·
Il.17.90 ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Il.17.91 ὤ μοι ἐγὼν εἰ μέν κε λίπω κάτα τεύχεα καλὰ
Il.17.92 Πάτροκλόν θ᾽, ὃς κεῖται ἐμῆς ἕνεκ᾽ ἐνθάδε τιμῆς,
Il.17.93 μή τίς μοι Δαναῶν νεμεσήσεται ὅς κεν ἴδηται.
Il.17.94 εἰ δέ κεν Ἕκτορι μοῦνος ἐὼν καὶ Τρωσὶ μάχωμαι
Il.17.95 αἰδεσθείς, μή πώς με περιστήωσ᾽ ἕνα πολλοί·
Il.17.96 Τρῶας δ᾽ ἐνθάδε πάντας ἄγει κορυθαίολος Ἕκτωρ.
Il.17.97 ἀλλὰ τί ἤ μοι ταῦτα φίλος διελέξατο θυμός;
Il.17.98 ὁππότ᾽ ἀνὴρ ἐθέλῃ πρὸς δαίμονα φωτὶ μάχεσθαι
Il.17.99 ὅν κε θεὸς τιμᾷ, τάχα οἱ μέγα πῆμα κυλίσθη.
Il.17.100 τώ μ᾽ οὔ τις Δαναῶν νεμεσήσεται ὅς κεν ἴδηται
Il.17.101 Ἕκτορι χωρήσαντ᾽, ἐπεὶ ἐκ θεόφιν πολεμίζει.
Il.17.102 εἰ δέ που Αἴαντός γε βοὴν ἀγαθοῖο πυθοίμην,
Il.17.103 ἄμφω κ᾽ αὖτις ἰόντες ἐπιμνησαίμεθα χάρμης
Il.17.104 καὶ πρὸς δαίμονά περ, εἴ πως ἐρυσαίμεθα νεκρὸν
Il.17.105 Πηλεΐδῃ Ἀχιλῆϊ· κακῶν δέ κε φέρτατον εἴη.
Il.17.106 Εἷος ὁ ταῦθ᾽ ὅρμαινε κατὰ φρένα καὶ κατὰ θυμὸν
Il.17.107 τόφρα δ᾽ ἐπὶ Τρώων στίχες ἤλυθον· ἦρχε δ᾽ ἄρ᾽ Ἕκτωρ.
Il.17.108 αὐτὰρ ὅ γ᾽ ἐξοπίσω ἀνεχάζετο, λεῖπε δὲ νεκρὸν

Il.17.109 ἐντροπαλιζόμενος ὥς τε λὶ̱ς ἠϋγένειος,
Il.17.110 ὅν ῥα κύνες τε καὶ ἄνδρες ἀπὸ σταθμοῖο δίωνται
Il.17.111 ἔγχεσι καὶ φωνῇ· τοῦ δ´ ἐν φρεσὶν ἄλκιμον ἦτορ
Il.17.112 παχνοῦται, ἀέκων δέ τ´ ἔβη ἀπὸ μεσσαύλοιο·
Il.17.113 ὣς ἀπὸ Πατρόκλοιο κίε ξανθὸς Μενέλα̱ος.
Il.17.114 στῆ δὲ μεταστρεφθεὶς ἐπεὶ ἵ̱κετο ἔθνος ἑταίρων
Il.17.115 παπταίνων Αἴαντα μέγαν Τελαμώνιον υἱόν.
Il.17.116 τὸν δὲ μάλ´ αἶψ´ ἐνόησε μάχης ἐπ´ ἀριστερὰ πά̱σης
Il.17.117 θαρσύ̱νονθ´ ἑτάρους καὶ ἐποτρύ̱νοντα μάχεσθαι·
Il.17.118 θεσπέσιον γάρ σφιν φόβον ἔμβαλε Φοῖβος Ἀπόλλων·
Il.17.119 βῆ δὲ θέειν, εἶθαρ δὲ παριστάμενος ἔπος ηὔδα̱.
Il.17.120 Αἶαν δεῦρο πέπον, περὶ Πατρόκλοιο θανόντος
Il.17.121 σπεύσομεν, αἴ κε νέκυ̱ν περ Ἀχιλλῆϊ προφέρωμεν
Il.17.122 γυμνόν· ἀτὰρ τά γε τεύχε´ ἔχει κορυθαίολος Ἕκτωρ.
Il.17.123 Ὣς ἔφατ´, Αἴαντι̱ δὲ δαΐφρονι θυ̱μὸν ὄρι̱νε·
Il.17.124 βῆ δὲ διὰ προμάχων, ἅμα δὲ ξανθὸς Μενέλα̱ος.
Il.17.125 Ἕκτωρ μὲν Πάτροκλον ἐπεὶ κλυτὰ τεύχε´ ἀπηύρα̱,
Il.17.126 ἕλχ´ ἵν´ ἀπ´ ὤμοιιν κεφαλὴν τάμοι ὀξέϊ χαλκῷ,
Il.17.127 τὸν δὲ νέκυ̱ν Τρῳῇσιν ἐρυσσάμενος κυσὶ δοίη.
Il.17.128 Αἴα̱ς δ´ ἐγγύθεν ἦλθε φέρων σάκος ἠΰτε πύργον·
Il.17.129 Ἕκτωρ δ´ ἂψ ἐς ὅμι̱λον ἰὼν ἀνεχάζεθ´ ἑταίρων,
Il.17.130 ἐς δίφρον δ´ ἀνόρουσε· δίδου δ´ ὅ γε τεύχεα κα̱λὰ
Il.17.131 Τρωσὶ φέρειν προτὶ ἄστυ, μέγα κλέος ἔμμεναι αὐτῷ.
Il.17.132 Αἴα̱ς δ´ ἀμφὶ Μενοιτιάδῃ σάκος εὐρὺ καλύψα̱ς
Il.17.133 ἑστήκει ὥς τίς τε λέων περὶ οἷσι τέκεσσιν,
Il.17.134 ᾧ ῥά τε νήπι´ ἄγοντι συναντήσωνται ἐν ὕ̱λῃ
Il.17.135 ἄνδρες ἐπακτῆρες· ὃ δέ τε σθένεϊ βλεμεαίνει,

Il.17.136 πᾶν δέ τ᾽ ἐπισκύνιον κάτω ἕλκεται ὄσσε καλύπτων·
Il.17.137 ὣς Αἴα̱ς περὶ Πατρόκλῳ ἥρωϊ βεβήκει.
Il.17.138 Ἀτρεΐδης δ᾽ ἑτέρωθεν ἀρηΐφιλος Μενέλα̱ος
Il.17.139 ἑστήκει, μέγα πένθος ἐνὶ στήθεσσιν ἀέξων.
Il.17.140 Γλαῦκος δ᾽ Ἱππολόχοιο πάϊς Λυκίων ἀγὸς ἀνδρῶν
Il.17.141 Ἕκτορ᾽ ὑπόδρα ἰδὼν χαλεπῷ ἠνί̱παπε μύ̱θῳ·
Il.17.142 Ἕκτο̱ρ εἶδος ἄριστε μάχης ἄρα πολλὸν ἐδεύε̱ο̱.
Il.17.143 ἦ σ᾽ αὔτως κλέος ἐσθλὸν ἔχει φύξηλιν ἐόντα.
Il.17.144 φράζεο νῦν ὅππως κε πόλιν καὶ ἄστυ σαώσῃς
Il.17.145 οἶος σὺν λα̱οῖς τοὶ Ἰ̱λίῳ ἐγγεγάα̱σιν·
Il.17.146 οὐ γάρ τις Λυκίων γε μαχησόμενος Δαναοῖσιν
Il.17.147 εἶσι περὶ πτόλιος, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν
Il.17.148 μάρνασθαι δηΐοισιν ἐπ᾽ ἀνδράσι νωλεμὲς αἰεί.
Il.17.149 πῶς κε σὺ χείρονα φῶτα σαώσειας μεθ᾽ ὅμι̱λον
Il.17.150 σχέτλι᾽, ἐπεὶ Σαρπηδόν᾽ ἅμα ξεῖνον καὶ ἑταῖρον
Il.17.151 κάλλιπες Ἀργείοισιν ἕλωρ καὶ κύρμα γενέσθαι,
Il.17.152 ὅς τοι πόλλ᾽ ὄφελος γένετο πτόλεϊ̱ τε καὶ αὐτῷ
Il.17.153 ζωὸς ἐών· νῦν δ᾽ οὔ οἱ ἀλαλκέμεναι κύνας ἔτλης.
Il.17.154 τὼ νῦν εἴ τις ἐμοὶ Λυκίων ἐπιπείσεται ἀνδρῶν
Il.17.155 οἴκαδ᾽ ἴμεν, Τροίῃ δὲ πεφήσεται αἰπὺς ὄλεθρος.
Il.17.156 εἰ γὰρ νῦν Τρώεσσι μένος πολυθαρσὲς ἐνείη
Il.17.157 ἄτρομον, οἷόν τ᾽ ἄνδρας ἐσέρχεται οἳ περὶ πάτρης
Il.17.158 ἀνδράσι δυσμενέεσσι πόνον καὶ δῆριν ἔθεντο,
Il.17.159 αἶψά κε Πάτροκλον ἐρυσαίμεθα Ἴ̱λιον εἴσω.
Il.17.160 εἰ δ᾽ οὗτος προτὶ ἄστυ μέγα Πριάμοιο ἄνακτος
Il.17.161 ἔλθοι̱ τεθνηὼς καί μιν ἐρυσαίμεθα χάρμης,
Il.17.162 αἶψά κεν Ἀργεῖοι Σαρπηδόνος ἔντεα κα̱λὰ

Il.17.163 λύ̱σειαν, καί κ´ αὐτὸν ἀγοίμεθα Ἴ̱λιον εἴσω·
Il.17.164 τοίου γὰρ θεράπων πέφατ´ ἀ̱νέρος, ὃς μέγ´ ἄριστος
Il.17.165 Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχέμαχοι θεράποντες.
Il.17.166 ἀλλὰ σύ γ´ Αἴαντος μεγαλήτορος οὐκ ἐτάλασσας
Il.17.167 στήμεναι ἄντα κατ´ ὄσσε ἰδὼν δηΐων ἐν ἀῢ̱τῇ,
Il.17.168 οὐδ´ ἰ̱θὺς μαχέσασθαι, ἐπεὶ σέο φέρτερός ἐστι.
Il.17.169 Τὸν δ´ ἄρ´ ὑπόδρα ἰδὼν προσέφη κορυθαίολος Ἕκτωρ·
Il.17.170 Γλαῦκε τί ἢ δὲ σὺ τοῖος ἐὼν ὑπέροπλον ἔειπες;
Il.17.171 ὢ πόποι ἦ τ´ ἐφάμην σὲ περὶ φρένας ἔμμεναι ἄλλων
Il.17.172 τῶν ὅσσοι Λυκίην ἐριβώλακα ναιετάουσι·
Il.17.173 νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας οἷον ἔειπες,
Il.17.174 ὅς τέ με φῂς Αἴαντα πελώριον οὐχ ὑπομεῖναι.
Il.17.175 οὔ τοι ἐγὼν ἔρρι̱γα μάχην οὐδὲ κτύπον ἵππων·
Il.17.176 ἀλλ´ αἰεί τε Διὸς κρείσσων νόος αἰγιόχοιο,
Il.17.177 ὅς τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νί̱κην
Il.17.178 ῥηϊδίως, ὁτὲ δ´ αὐτὸς ἐποτρύ̱νει μαχέσασθαι.
Il.17.179 ἀλλ´ ἄγε δεῦρο πέπον, παρ´ ἔμ´ ἵστασο καὶ ἴδε ἔργον,
Il.17.180 ἠὲ πανημέριος κακὸς ἔσσομαι, ὡς ἀγορεύεις,
Il.17.181 ἦ τινα καὶ Δαναῶν ἀλκῆς μάλα περ μεμαῶτα
Il.17.182 σχήσω ἀμυ̱νέμεναι περὶ Πατρόκλοιο θανόντος.
Il.17.183 Ὣς εἰπὼν Τρώεσσιν ἐκέκλετο μακρὸν ἀῢ̱σα̱ς·
Il.17.184 Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
Il.17.185 ἀ̱νέρες ἔστε φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
Il.17.186 ὄφρ´ ἂν ἐγὼν Ἀχιλῆος ἀμύ̱μονος ἔντεα δύ̱ω
Il.17.187 κα̱λά, τὰ Πατρόκλοιο βίην ἐνάριξα κατακτά̱ς.